ὅμοιοι ἐστὲ ξύλῳ ἐν θαλάττῃ φερομένῳ. ἐκεῖνο γὰρ θεωροῦντες ἐκ πολλοῦ διαστήματος κυμάτων φερόμενον, δοκοῦμεν τινὸς χρυσίου ἄξιον εἶναι. ἐπειδὰν δὲ ἐγγυτάτω προσέλθωμεν, ἐλάχιστον ὁρῶμεν. κἀγὼ οὖν πόρρωθεν ὑπάρχων τῆς ὑμῶν πόλεως κατεπληττόμην ὑμᾶς ὡς μεγίστους. ἐλθὼν δὲ πρὸς ὑμᾶς ὦ Δελφοί, εὗρον ὑμᾶς ταπεινοτέρους τῶν ἄλλων ἀνθρώπων, καὶ ἀχρειοτέρους. οὕτως πεπλάνημαι, καλὴν ἔχων ὑπὲρ ὑμῶν διάνοιαν. ὃ δὲ ἄξιον ποιεῖτε τῶν προγόνων ὑμῶν. ταῦτα ἀκούσαντες οἱ ἐν Δελφοῖς, ἔφησαν, τίνες γάρ εἰσιν οἱ πρόγονοι ἡμῶν. ὁ δὲ σύνδουλοι. ἃ δὲ ἀγνοεῖτε, μάθετε. νόμος ἦν παρὰ τοῖς Ἕλλησιν, ἐὰν πόλεις καταβάλλωνται τῶν λαφύρων τὸ δέκατον μέρος πέμ-

πειν